ηι

λόγος δ' ∴ περὶ ὕλης καὶ κόσμου ∴ δ' ∴

Δημόκριτον τὸν Δαμασίππου τὸν Ἀβδηρίτην
φασί, παραπλήσιον εἶναι τῇ φύσει λέγειν τὴν
ἀρίστην διδασκαλίαν. μεταμορφοῦν γὰρ δεῖ
καὶ μεταρυθμίζειν πρὸς τὸ βέλτιον τὴν ψυχήν,
καὶ τοὺς παλαιοὺς ἀνανεοῦσθαι χαρακτῆρας,
οὓς ἐξ ἀρχῆς ἡ φύσις ἔθηκε. καὶ ἔγωγε μάλα
τοῦδε τὸν λόγον ἀληθῆ ἔχειν ὑπείληφα. καὶ γὰρ
τὸν Σωκράτην τὸν Σωφρονίσκου φησὶν ὁ Πορφύ
ριος, ἐς ἀκολασίαν ἡνίκα νέος ἦν ἀποκλί
ναντα, σπουδῇ καὶ διδαχῇ, τούτους μὲν ἀφα
νίσαι τοὺς τύπους, τοὺς δὲ τῆς φιλοσοφίας
ἐκμάξασθαι. πολλὰ δέ που τοιαῦτα καὶ τὰ
θεῖα ἡμᾶς ἐκπαιδεύει λόγια. καὶ γὰρ καὶ τε-
λώνας ὁ σωτὴρ ὁ ἡμέτερος πλεονεκτικὸν βίον
ἀσπασαμένους καὶ ἄδικον, καὶ χαμαιτύπην
καὶ λαγνιστάτην καὶ παρανομωτάτην, λῃστὴν
καὶ ἄλλους πολλοὺς πονηρίᾳ ξυνεζηκότ(ας),
ἀφηγήσεσι καὶ παραινέσεσιν, ἐκ μὲν τοῦ βαρά
θρου τῆς κακίας ἀνέσπασεν· ἀρετῆς δὲ τελε
ωτάτης ἀπέφηνεν ἐργάτας. καὶ τί λέγω
τρεῖς ἢ τέτταρας ἢ δέκα, ἢ πεντεκαίδεκα.
πᾶσαν γάρ που τὴν οἰκουμένην οὕτω διακει
μένην, δι' ἐκείνων γε τῶν ὀλίγων οὓς αὐτὸς με-
τερρύθμισεν, ἀθρόως μετέβαλε· καὶ τὴν πα

λαι

UNIVERSITÄTS-
BIBLIOTHEK
HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

The Polonsky Foundation

© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_214/0132